σκεψάμενος, ὁποῖός ἐστι πρὸς τὴν ἀνθρωπίνην χρεί-
αν, ἔγνωκε τὴν αὑτοῦ δύναμιν; ⁋ Οὕτως ἔμοι γε δο-
κεῖ, ἔφη, ὁ μὴ εἰδὼς τὴν ἑαυτοῦ δύναμιν, ἀγνοεῖν
ἑαυτόν. ⁋ Ἐκεῖνο δὲ οὐ φανερὸν, ἔφη, ὅτι, διὰ 26
μὲν τὸ εἰδέναι ἑαυτοὺς, πλεῖστα ἀγαθὰ πάσχουσιν
οἱ ἄνθρωποι, διὰ δὲ τὸ ἐψεῦσθαι ἑαυτῶν, πλεῖστα
κακά; οἱ μὲν γὰρ εἰδότες ἑαυτοὺς, τά τε ἐπιτήδεια
ἑαυτοῖς ἴσασι, καὶ διαγιγνώσκουσιν ἅ τε δύνανται
καὶ ἃ μή· καὶ ἃ μὲν ἐπίστανται πράττοντες, πορί-
ζονταί τε ὧν δέονται, καὶ εὖ πράττουσιν· ὧν δὲ μὴ
ἐπίστανται ἀπεχόμενοι, ἀναμάρτητοι γίγνονται,
καὶ διαφεύγουσι τὸ κακῶς πράττειν· διὰ τοῦτο δὲ καὶ
τοὺς ἄλλους ἀνθρώπους δυνάμενοι δοκιμάζειν, καὶ διὰ
τῆς τῶν ἄλλων χρείας τά τε ἀγαθὰ πορίζονται, καὶ
τὰ κακὰ φυλάττονται· Οἱ δὲ μὴ εἰδότες, ἀλλὰ 27
διεψευσμένοι τῆς ἑαυτῶν δυνάμεως, πρός τε τοὺς
ἄλλους ἀνθρώπους καὶ τἆλλα ἀνθρώπινα πράγματα
ὁμοίως διάκεινται, καὶ οὔτε ὧν δέονται ἴσασιν, οὔτε ὅ
τι πράττουσιν, οὔτε οἷς χρῶνται, ἀλλὰ πάντων τού-
των διαμαρτάνοντες, τῶν τε ἀγαθῶν ἀποτυγχάνου-
σι, καὶ τοῖς κακοῖς περιπίπτουσι. Καὶ οἱ μὲν εἰδό- 28
τες ὅ τι ποιοῦσιν, ἐπιτυγχάνοντες ὧν πράττουσιν, εὔ-
δοξοί τε καὶ τίμιοι γίγνονται, καὶ οἵ τε ὅμοιοι τούτοις
ἡδέως χρῶνται, οἵ τε ἀποτυγχάνοντες τῶν πραγμά-

των

οὕτως ἔμοιγε — δύναμιν] Haec exciderunt in Iunt. ob duplex δύναμιν.

§. 26. γὰρ] Deest in Iunt. et mox τε ap. Stob.

διὰ τοῦτο] Stob. διὰ τὸ αὐτὸ, et paulo post abest ἀνθρώπους, haud male.

§. 27. ὁμοίως διάκεινται] H. e. *similiter, vt se, ita quoque alios homines et res humanas (quae vel prodesse vel obesse possunt) ignorant.*

§. 28. ὅμοιοι] Ernestus interpretatur *similes iis prudentia, felicitate:* Schützius, *qui similiter in rep. cum laude versantur.* Sed ὅμοιοι apud nostrum omnino dicuntur, *qui sunt eiusdem conditionis, dignitatis, muneris:* cf. Ind. Cyrop. et Opusc. politic. Z. Edwards emendat: οἱ μὲν ὅμοιοι — οἱ δὲ ἀποτυγχ. Non inepte! Notio verbi a Zeunio allata est plane aliena ab h. l.

οἵ τε ἀποτυγχ.] Pro τε est δὲ vitio operarum in edd. Ernesti.

ἀποτυγχάνοντες τῶν πραγμ.] H. e. *qui sibi ipsi non possunt consulere, nec rebus gerendis sunt pares.* Schützius coniicit ἀπέχοντες τῶν πρ., *qui a rep. et negotiis publicis*